www.tezaurliturgic.ro

# ΧΑΙΡΕΤΙΣΜΟΙ

## ΕΙΣ ΤΟΥΣ ΤΡΕΙΣ ΙΕΡΑΡΧΑΣ

## ΒΑΣΙΛΕΙΟΝ ΤΟΝ ΜΕΓΑΝ

## ΓΡΗΓΟΡΙΟΝ ΤΟΝ ΘΕΟΛΟΓΟΝ

## ΚΑΙ

## ΙΩΑΝΝΗΝ ΤΟΝ ΧΡΥΣΟΣΤΟΜΟΝ

Ποίημα Νικοδήμου Ἁγιορείτου.

(Ἅγιον Ὄρος)



www.tezaurliturgic.ro

# Χ Α Ι Ρ Ε Τ Ι Σ Μ Ο Ι

## ΕΙΣ ΤΟΥΣ ΤΡΕΙΣ ΙΕΡΑΡΧΑΣ

## Β Α Σ Ι Λ Ε Ι Ο Ν Τ Ο Ν Μ Ε Γ Α Ν

## Γ Ρ Η Γ Ο Ρ Ι Ο Ν Τ Ο Ν Θ Ε Ο Λ Ο Γ Ο Ν

## ΚΑΙ

## Ι Ω Α Ν Ν Η Ν Τ Ο Ν Χ Ρ Υ Σ Ο Σ Τ Ο Μ Ο Ν

---

Ποίημα Νικοδήμου Ἁγιορείτου.

(Ἅγιον Ὄρος)

### Κοντάκιον.

Ἦχος πλ. δ΄. Τῇ Ὑπερμάχῳ.

Τούς τήν Τριάδα τήν Ὑπέρθεον κηρύξαντας,

Φιλανθρωπίας δ' ἔργοις πᾶσαν γῆν πληρώσαντας,

Τόν Βασίλειον τόν Μέγαν σύν Γρηγορίῳ

Θεολόγῳ, Ἰωάννην τε Χρυσόστομον,

Ἀνυμνήσωμεν νῦν πάντες ἀγαλλόμενοι,

Τούτοις κράζοντες· Θεοκήρυκες, χαίρετε.

www.tezaurliturgic.ro

Ἅγιοι Ἱεράρχαι, τοῦ Χριστοῦ καί Ποιμένες, νοΐ μου καταπέμψατε χάριν· ( ἐκ γ΄. ) τολμήσας γάρ ἐκ πόθου ὑμῶν, τάς ἀριστείας ὑμνῆσαι, λόγων ὅλως ἐστέρημαι· θαυμάζων δέ ὑμῶν τά μεγαλεῖα κράζω·

Χαίρετε, κήρυκες τῆς Τριάδος·
χαίρετε, ῥήτορες τῆς Μονάδος.
Χαίρετε, Πατρός ἀγεννήτου ἐκφάντορες·
χαίρετε, Υἱοῦ γεννητοῦ θεῖαι σάλπιγγες.
Χαίρετε, τοῦ Θείου Πνεύματος ἀληθεῖς προσκυνηταί·
χαίρετε, μιᾶς Θεότητος θεῖοι ὄντως λατρευταί.
Χαίρετε, τά πυρίπνοα στόματα τοῦ Λόγου·
χαίρετε, οἱ θερμότατοι φίλοι τῆς Παρθένου.
Χαίρετε, ἐπιφανῶν οἴκων αὐγάσματα·
χαίρετε, ἐπιστήμης ἀγάλματα.
Χαίρετε, μυσταγωγοί τῶν ἀῤῥήτων·
χαίρετε, οἱ παροχεῖς τῶν χαρίτων.

Χαίρετε, θεῖοι Διδάσκαλοι.

Βάσις τῆς Ἐκκλησίας, καί προπύργιον ταύτης, Βασίλειε παμμάκαρ ἐδείχθης· ὑπέρ αὐτῆς γάρ λίαν θερμῶς, ἠγωνίσω καθάπερ ποιμήν γνήσιος· διό ἐπί σοί χαίρουσα, καλεῖ πάντας Θεῷ βοῆσαι·

Ἀλληλούϊα.

Γνῶσιν τήν τῶν στοιχείων, καί τῆς κτίσεως ἐδέχθης, Βασίλειε ἐκ τῆς Θεοτόκου· διό βίβλον συνέταξας, καταγράφων τούς λόγους τῶν ὄντων, τήν Γένεσιν, παντός Δημιουργίαν, πλήν τῶν Πρωτοπλάστων, ἀκούων·

Χαῖρε, ὁ φῶς εὐσεβείας λάμψας·
χαῖρε, ὁ στόματ᾽ ἀθέων φράξας.
Χαῖρε, Ἱστορία γάρ Μέγαν σ᾽ ὠνόμασε·
χαῖρε, Ἐκκλησία ὅν Ἅγιον ἐκήρυξε.
Χαῖρε, ὁ δυνάμει Πνεύματος τάς αἱρέσεις καθελών·
χαῖρε, λόγοις σου Σαβέλλιον καί Εὐνόμιον βαλών.
Χαῖρε, τήν Ἑξαήμερον Μωσέως ἑρμηνεύσας·
χαῖρε, τάς Παροιμίας Σολομῶντος ἐξηγήσας.
Χαῖρε, Βασίλειε φῶς παγκόσμιον·
χαῖρε, ὑπερβάς διδάσκαλον Εὔβουλον.
Χαῖρε, υἱός Βασιλείου καί Ἐμμελείας·
χαῖρε, ὁ μέγας γόνος τῆς Καισαρείας.

Χαῖρε, Πάτερ Βασίλειε.

Δόξαν οἱ συμπλωτῆρες, τῇ Τριάδι προσῆξαν, ἡνίκα τῆς θαλάσσης ἐῤῥύσω· τόν ταύτης γάρ σάλον κοπασθέντα, τῇ προσευχῇ σου ὡς εἶδον, εἷς Θεός ὁ Γρηγορίου, ἐβόησαν, ᾧ συντασσόμεθα βοῶντες·

Ἀλληλούϊα.

www.tezaurliturgic.ro



῎Εσχεν ὁ Παραβάτης, σέ ἀντίμαχον μέγαν, κατά τῶν ἑαυτοῦ βουλευμάτων· ταῖς πανσόφοις σου γάρ συγγραφαῖς, τόν Χριστεπώνυμον λαόν ἐφώτισας, Οὐάλην βασιλέα τε κατῄσχυνας· διό βοῶμεν·

Χαῖρε, Γρηγόριε θεηγόρε·
χαῖρε, Τριαδικέ θεολόγε.
Χαῖρε, θεολόγου τοῦ πρώτου μικρότερε·
χαῖρε, τῶν ἑτέρων ἁπάντων ὑπέρτερε.
Χαῖρε, νοῦς ὁ ὑπερέξοχος καί Τριάδος συγγραφεύς·
χαῖρε, Παρακλήτου ὄργανον καί ἐπιστήμων ἀριστεύς.
Χαῖρε, ὁ τήν Τριάδα ἐν Μονάδι κηρύξας·
χαῖρε, ᾽Αρειανούς καί Εἰδωλολάτρας διώξας.
Χαῖρε, τοῦ Πνεύματος θρίαμβος ἄμεσος·
χαῖρε, ᾽Ιουλιανοῦ ὁ πολέμιος.
Χαῖρε, τό πάνσοφον στόμα τοῦ Λόγου·
χαῖρε, ὁ δεύτερος τῶν θεολόγων.

Χαῖρε, Πάτερ Γρηγόριε.

Ζέων ἀεί τῷ πόθῳ, τοῦ Χριστοῦ ᾽Ιωάννη, τοῖς ἴχνεσιν αὐτοῦ ἠκολούθεις· ταπεινώσεως γάρ, παρθενίας, καί σοφίας ἐραστής γεγονώς, τούς Ἑλλήνων σύ ἐξέπληξας, σοφούς θεῷ προσάγων κράζειν·

᾽Αλληλούϊα.

῎Ηκουσε δῆμος ἅπας, νέας Ῥώμης Χρυσόστομε, σούς ὑπέρ χρυσόν χρυσοῦς λόγους· καί ἐκλέξας σε νεύσει θεοῦ, οἴακας ᾽Εκκλησίας ἐγχειρίζει σοι, ἥν καλῶς διοικήσας, καί λαόν σου ποιμάνας, ἀκούεις·

Χαῖρε, Ποιμήν πόλεως Κωνσταντίνου·
χαῖρε, ἀσύγκριτος τέχνη τοῦ λόγου.
Χαῖρε, ᾽Ιωάννη τό ἅρμα τοῦ Πνεύματος·
χαῖρε, Χρυσοῤῥῆμον Χριστοῦ μου τό τέμενος.
Χαῖρε, δι᾽ ὅν εἶπον· κάλλιον σβεσθῇ ἥλιος, ἤ σιγήσῃ στόμα σόν·
χαῖρε, ῥήτωρ ὑπερθαύμαστος, Δημοσθένην ὁ νικῶν.
Χαῖρε, ὑπέρτερος τοῦ σοφιστοῦ Λιβανίου·
χαῖρε, ᾽Ανδραγαθίου φιλοσόφου ὁ μείζων.
Χαῖρε, Γραφῶν τῶν θείων σαφήνεια·
χαῖρε, γραφαῖς σου παύων τήν ἄγνοιαν.
Χαῖρε, Σεκούνδου καί ᾽Ανθούσης ὁ γόνος·
χαῖρε, ᾽Αντιοχείας Μεγάλης κλέος.

Χαῖρε, Πάτερ Χρυσόστομε.

Θείας θεολογίας, θεηγόροι ὀφθέντες, πιστοῖς ἐδογματίσατε σέβειν, θεότητα μίαν ἐν τρισίν, Ὑποστάσεσιν, ἄναρχον, ἀτελεύτητον, ἄκτιστον, παντός ποιητικήν, πρός ἥν πάντες βοῶμεν·

᾽Αλληλούϊα.

www.tezaurliturgic.ro

Ἴδεν ὁ Εὐχαΐτων, ὑμᾶς ὁμοῦ Ἰωάννης, καί ἠγαλλιάσατο σφόδρα· ἰσότητα δέ τήν ὑμῶν, ἀνακηρύξας τοῖς λαοῖς, ἔριν ἅπασαν ἔπαυσε, πείθων ὥσπερ ἰσοτίμοις πρός τούς τρεῖς κραυγάζειν·

Χαίρετε, ἄνθη τοῦ Παραδείσου·
χαίρετε, ὄντως οἱ τρεῖς ἐξ ἴσου.
Χαίρετε, φιλοσόφων ἁπάντων ἀνώτεροι·
χαίρετε, τεχνολόγων λογίων σοφώτεροι.
Χαίρετε, οἱ τρισκαιδέκατοι Μαθηταί τοῦ Ἰησοῦ·
χαίρετε, οἱ μεγαλέμποροι ἀσυλήτου θησαυροῦ.
Χαίρετε, ἱδρυταί εὐαγῶν οἰκημάτων·
χαίρετε, εὐεργέται γῆς ἁπάσης περάτων.
Χαίρετε, οἱ τήν γῆν οὐρανώσαντες·
χαίρετε, τήν Τριάδα δοξάσαντες.
Χαίρετε, ὑπέρμαχοι Ὀρθοδοξίας·
χαίρετε, γνῶσται Ἐγκυκλίου παιδείας.

Χαίρετε, θεῖοι Διδάσκαλοι.

Κύριον καί Δεσπότην, τό Πανάγιον Πνεῦμα, ἐκήρυξας Γρηγόριε Πάτερ· ἐν μέσῳ τῆς Συνόδου, Αὐτοῦ τήν ἐκ μόνου τοῦ Πατρός ἐκπόρευσιν, καί Θεότητα τρανώσας, πάντας ἔπεισας Αὐτῷ κραυγάζειν·

Ἀλληλούϊα.

Λύκους ἐξ αὐτοῦ Ποίμνης, ἐκδιώξαντα βλέπων, τά σκῆπτρα Ἐκκλησίας δωρεῖται, Γρηγόριε, Ὃς ἐν τῷ Σταυρῷ, τό Αἷμα ἐξέχεεν, ἥτις χαίρουσα ἐπί τῇ σῇ ἐνθρονίσει, καί ὕμνοις σε καταστέφουσα, κράζει·

Χαῖρε, σοφέ τούς σοφούς διδάσκων·
χαῖρε, Οἰκουμένης θρόνου ἄρχων.
Χαῖρε, τῆς ἐμῆς διαιρέσεως λύτρωσις·
χαῖρε, τῶν ἐμῶν λογογράφων ὁ ἔξαρχος.
Χαῖρε, ὅτι ὑπερεμάχησας διά τόν ἐμόν Θεόν·
χαῖρε, ὅτι ἀπεδίωξας ἀπ᾽ ἐμοῦ πάντα ἐχθρόν.
Χαῖρε, ὅς ἐν τῷ θρόνῳ σου ναούς μου κοσμήσεις·
χαῖρε, ᾧ ῥάβδον ἄναξ Θεοδόσιος κομίσει.
Χαῖρε, Χριστοῦ μου θεῖον φραγγέλιον·
χαῖρε, Τριάδα ἀναφέρων λόγοις σου.
Χαῖρε, Αἱρεσιαρχῶν καταδίκη·
χαῖρε, τοῦ Ἰησοῦ μου ἡ νίκη.

Χαῖρε, Πάτερ Γρηγόριε.

Μέγας τῆς μετανοίας, ἀνεφάνης σύ κήρυξ, τούς πάντας πρός αὐτήν παροτρύνων· ἀδικίας διώκτης δεινός, θερμός προστάτης χηρῶν Ἰωάννη τε, πατήρ ὀρφανῶν καί παρηγορία πάντων τῶν βοώντων·

Ἀλληλούϊα.

www.tezaurliturgic.ro

Νέα τις 'Ιεζάβελ, ὤφθη ἡ Εὐδοξία, τήν ἄμπελον τῆς χήρας λαβοῦσα· σύ δέ ταύτην καί τούς σύν αὐτῇ, παῤῥησίᾳ ἤλεγξας· οἵ μή θέλοντες ἀκοῦσαι, φθόνῳ σ' ἔξωσαν τόν δίκαιον· ἐφ' ᾧ βοῶμεν·

Χαῖρε, δι' οὗ βασιλίς ἠλέγχθη·
χαῖρε, δι' οὗ ἡ πτωχή ἐσώθη.
Χαῖρε, ἀδικούντων ὁ μέγας πολέμιος·
χαῖρε, φιλαργύρων ὁ θεῖος κατήγορος.
Χαῖρε, ὅτι ἀφωμοίωσαι είς τάς θλίψεις τῷ Χριστῷ·
χαῖρε, ὅτι ἐμεγάλυνας τόν Αὐτόν ἐν Κουκουσῷ.
Χαῖρε, ἐξόριστος ἐν Κομάνοις τελευτήσας·
χαῖρε, Δόξα Θεῷ ἕνεκεν πάντων φωνήσας.
Χαῖρε, Χριστός γάρ ἐχθρούς σου ἐξεδίκησε·
χαῖρε, σεισμῷ καί θανάτῳ ἐπάταξε.
Χαῖρε, τῶν ἀδικουμένων προστάτης·
χαῖρε, λαοῦ σου ὁ συμπαραστάτης.

Χαῖρε, Πάτερ Χρυσόστομε.

Ξύμπαντα ὁ συμπήξας, 'Ιησοῦς ὁ Παγκράτωρ, εὐχῶν σου εἰσακούσας σοί ὤφθη, ἐν ὁράματι μυσταγωγῶν, τήν θείαν 'Ιερουργίαν Βασίλειε, ἥν 'Εκκλησίᾳ δέδωκας· ἡ δέ αὐτήν τελοῦσα, ψάλλει·

'Αλληλούϊα.

Ὅτε σήν ἐξορίαν, γραμματεύς ἐξετέλει, ἡ χείρ τότε αὐτοῦ ἐνεκρώθη· Βασιλέως δέ θνήσκειν ὁ παῖς, ἔμελλε, εἰ μή ἀνεκάλει τήν αὐτοῦ βουλήν Βασίλειε· πιστῶν δέ ἡ πληθύς ἐβόα ταῦτα·

Χαῖρε, Βασίλειε οὐρανοφάντορ·
χαῖρε, ἔργοις καί λόγοις μείζων ἁπάντων.
Χαῖρε, τῶν Πατέρων κυρώσας τά δόγματα·
χαῖρε, 'Εκκλησϊᾳ συγγράψας διδάγματα.
Χαῖρε, θαῦμα περιβόητον πάσης γαίας καί φυλῆς·
χαῖρε, καύχημα ἐξαίρετον Καππαδοκίας λαοῖς.
Χαῖρε, Δαβίδ κτησάμενος διόρασιν καί πρᾶον·
χαῖρε, ὁ μιμησάμενος 'Ηλιού τόν ζῆλον.
Χαῖρε, συκοφάντην σου σώσας Ἔπαρχον·
χαῖρε, 'Επαρχίαν σου πείνης ῥυσάμενος.
Χαῖρε, δι' οὗ εὐσπλαγχνία δηλοῦται·
χαῖρε, δι' οὗ παρθενία ὑψοῦται.

Χαῖρε, Πάτερ Βασίλειε.

Πᾶσαν τήν τῶν 'Ελλήνων, ἐκμαθόντες σοφίαν, θρησκείαν ἐβδελύχθητε τούτων· φωτί δέ 'Ελλάδος καί Χριστοῦ, μείζονα αἰώνων Πολιτισμόν θεμελιώσαντες, τά πέρατα αὐγάζετε Τριάδι ᾄδειν·

'Αλληλούϊα.

www.tezaurliturgic.ro

Ῥήτορας τῶν ἀθέων, ἐδιώξατε πόρρω, Χριστοῦ τῆς Ἐκκλησίας Πατέρες· Τριάς γάρ ἡ Ἁγία ὑμᾶς, πυρσούς ἀνέδειξε, τούς ἐχθρούς φλέγοντας, τούς δέ πιστούς φωτίζοντας, κραυγάζειν πρός ὑμᾶς τοιαῦτα·

Χαίρετε, πύργοι τῆς Ἐκκλησίας·
χαίρετε, στῦλοι Ὀρθοδοξίας.
Χαίρετε, ἀσκήσει καί προαιρέσει Μάρτυρες·
χαίρετε, ἁπάσης οἰκουμένης Διδάκτορες.
Χαίρετε, θαυμάτων πλήμμυραι καί σοφίας ποταμοί·
χαίρετε, δογμάτων βάσεις καί ἐπιστήμονες ἰατροί.
Χαίρετε, τοῦ Μεγάλου Βασιλέως οἱ θύται·
χαίρετε, Μυστηρίων βασιλεῖς ἱερεῖς τε.
Χαίρετε, ὑπό σοφῶν θαυμαζόμενοι·
χαίρετε, ταπεινωσύνῃ κοσμούμενοι.
Χαίρετε, ῥήτορες βροντῆς δογμάτων·
χαίρετε, πίδακες ζωῆς ῥημάτων.

Χαίρετε, θεῖοι Διδάσκαλοι.

Σήμερον πᾶσα κτίσις, γεραιρέτω ἐξόχως, τόν μέγαν Ἰωάννην ἐν ὕμνοις· οὗτος γάρ θεόθεν ἐμπνευσθείς,πᾶσαν τήν Γραφήν ἡμῖν διηρμήνευσεν λαμπρῶς, ἵνα σωθέντες τῇ γνώσει τῶν Γραφῶν, γνῶμεν ψάλλειν·

Ἀλληλούϊα.

Τεῖχος τῆς Ἐκκλησίας, Πατριαρχῶν ἡ δόξα, Διδάσκαλος πάσης Οἰκουμένης, ὁμόαθλος Μαρτύρων, τό κλέος Μοναστῶν, θλιβομένων χαρά, ἁμαρτωλῶν τ' ἐγγυητής, Ἰωάννη, γέγονας· διό βοῶμεν·

Χαῖρε, Ἰωάννη χρυσοῤῥῆμον·
χαῖρε, Χρυσόστομε θεοῤῥῆμον.
Χαῖρε, Ἐκκλησίας ἡμῶν τό ἑδραίωμα·
χαῖρε, Βασιλίδος τῶν πόλεων διάδημα.
Χαῖρε, Βίβλου χρυσός ἥλιος χρυσοῤῥόας ποταμός·
χαῖρε, οὗ ἡ Λειτουργία τελεῖται καθ' ἑκάστην ἐν ναῷ.
Χαῖρε, ᾧ Παῦλος ἀοράτως Γραφάς ἑρμηνεύει·
χαῖρε, ὅν Θεολόγος νοεῖν ταύτας ἐμπνέει.
Χαῖρε, ψυχῶν ἰατρός σοφώτατος·
χαῖρε, θαυμαστής Παύλου θερμότατος.
Χαῖρε, ὁ φίλος πτωχῶν καί πασχόντων·
χαῖρε, μεσίτης τῶν ἁμαρτανόντων.

Χαῖρε, Πάτερ Χρυσόστομε.

Ὕψος τό τοῦ νοός σου, καί ψυχῆς τήν ἀνδρείαν, Βασίλειε, ὤ! τίς μή θαυμάσῃ; νοημάτων γάρ πέλαγος δέλτοις σου ἐγκλείεις διδάσκων ἡδέων μέν ἀπέχειν, θεῷ δέ προσκολλᾶσθαι· Ἀρχόντων τε ἀπειλάς μή φοβηθείς, ἐβόας·

Ἀλληλούϊα.

www.tezaurliturgic.ro

Φρίκη κατέσχε πάντας, τούς πιστούς εὐχομένους, ὑπέρ τοῦ πρώην ἀρνησιχρίστου· ὁρμῶντες γάρ οἱ δαίμονες Ναῷ,τοῦτον ἁρπάσαι καί φεύγειν οὐκ ἴσχυον, ἕως αὐτοῦ τό ἔγγραφον παρέσχον σοι· ὁ δέ ἐβόα·

Χαῖρε, ὁ τῷ Θεῷ με προσάξας·
χαῖρε, ὁ ἐκ δαιμόνων με σώσας.
Χαῖρε, χαράν τούτων εἰς λύπην τρεψάμενος·
χαῖρε, ἐκ κολάσεώς με λυτρωσάμενος.
Χαῖρε, κόσμος ὁ βασίλειος 'Εκκλησίας τοῦ Χριστοῦ·
χαῖρε, Βασίλειε στῦλε πύρινε ἐγγίσας Οὐρανούς.
Χαῖρε, Βασιλειάδα τῆς ἀγάπης ἱδρύσας·
χαῖρε, εὐχαῖς 'Εφραίμ ἑλληνιστί ὁμιλήσας.
Χαῖρε, Ναοῦ ᾧ πύλαι ἠνοίχθησαν·
χαῖρε, δι' οὗ πιστοῖς Ναοί ἐδόθησαν.
Χαῖρε, θανῇ σου ἰατρόν καταπλήξας·
χαῖρε, 'Ιουδαῖον ὄντα βαπτίσας.

Χαῖρε, Πάτερ Βασίλειε.

Χάριν φυγῆς σκανδάλων, ἀπεφάσισας ὅπως, τόν θρόνον Βυζαντίου ἀφήσῃς· ὁ λαός δ'ἐβόα σοι Γρηγόριε, δακρύων· Πάτερ, μετά σοῦ φέρεις Τριάδα τήν 'Αγίαν, διό μεῖνον μεθ' ἡμῶν κραυγάζειν·

'Αλληλούϊα.

Ψάμμον ὑπέρ θαλάσσης, οἱ ἀγῶνές σου Πάτερ,ἐν βίῳ τῷ προσκαίρῳ ὑπῆρξαν· ὅθεν Γρηγόριε, ἡ Τριάς,σ'ἐδόξασεν ἐν γῇ καί οὐρανῷ. Οὐδείς γάρ τῶν 'Αρχιερέων ποτέ, ἐκοπίασεν ὡς σύ, ἀκούων·

Χαῖρε, ὁ σύνθρονος 'Ιωάννου·
χαῖρε, ὁ φίλτατος Βασιλείου.
Χαῖρε, Μακεδόνιον τροπώσας τόν βλάσφημον·
χαῖρε, 'Απολλινάριον πλήξας τόν ἄθεον.
Χαῖρε, ὄμμα, τό Θεότητα τήν τοῦ Πνεύματος ἰδόν·
χαῖρε, στόμα,ὁμοούσιον τό Τριάδος ἐξειπόν.
Χαῖρε, ὁ τά ζιζάνια αἱρέσεων φλέξας·
χαῖρε, Πνευματομάχους τούς δεινούς ἀνατρέψας.
Χαῖρε, ἐμπαίξας 'Ελλήνων μυθεύματα·
χαῖρε, πιστοῖς συνθέσας ποιήματα.
Χαῖρε, υἱός Γρηγορίου καί Νόννης·
χαῖρε, τῆς 'Αριανζοῦ βλαστός μέγας.

Χαῖρε, Πάτερ Γρηγόριε.

Ὦ Τριάς τῶν Πατέρων, τῆς 'Αγίας Τριάδος, Βασίλειε, Γρηγόριε, 'Ιωάννη· ( ἐκ γ΄. ) ἱκεσίαις ὑμῶν πρός Θεόν, φωτίσατε πάντας γνῶναι τάς θείας Γραφάς, καί ποταμοῦ ῥύσασθε, πυρός τούς μεθ'ὑμῶν βοῶντας·

'Αλληλούϊα.

www.tezaurliturgic.ro